τούτων κεφάλαιον πάντων γίγνεται μικροῦ λείποντος
44 πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰ-
τιάσαισθε, ἐπεὶ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δι-
καίως ἀποφανθῆναι ὑπ' αὐτοῦ ἐκείνου, πολλαπλασίων
δοκούντων πλεῖν ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστο-
φάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ
ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός.
45 Ἐγὼ μὲν ⟨οὖν⟩ οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω
πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπο-
λέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ
ἄλλων πρεσβυτέρων, | ὅτι οὐ νῦν μόνον ἀλλὰ καὶ ἐν τῷ
ἔμπροσθεν χρόνῳ πολλῶν ἐψεύσθητε τῆς οὐσίας, οἳ
ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ πολὺ
46 παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα Ἰσχο-
μάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλεῖν ἢ ἑβδομήκοντα
τάλαντα, ὡς ἐγὼ ἀκούω· ἐνειμάσθην δὲ τὼ ὑεῖ οὐδὲ δέ-
κα τάλαντα ἑκάτερος ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θάλ-
λου ἐλέγετο εἶναι πλεῖν ἢ πεντήκοντα τάλαντα, ἀποθα-
47 νόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἕνδεκα τάλαντα. ὁ τοίνυν
Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον ἢ ἑκατὸν
ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον [ἦν]· Νικήρατος
δὲ ὅτ' ἀπέθνῃσκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς
ἔφη καταλείπειν οὐδέν, ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ
ὑεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάν-
52 των. ἔπειτ' οἶομαι ὑμᾶς εἰδέναι ὅτι Ἀλκιβιάδης τέτταρα
ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν καὶ νενικηκὼς
Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις
διδόναι ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν, ὥστ' ᾤοντο εἶναί
τινες αὐτῷ πλεῖν ἢ ἑκατὸν τάλαντα. ὁ δ' ἀποθανὼν
ἐδήλωσεν ὅτι οὐκ ἀληθῆ ταῦτα ἦν· ἐλάττω γὰρ οὐσίαν
κατέλιπε τοῖς παισὶν ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάν-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/176 UNIVERSITÄT LEIPZIG